IV. 13 in. μετὰ μὲν τοίνυν τοῦτο οἱ μὲν Κορίνθιοι καὶ Ἀργεῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἀπήγοντο, οἱ δὲ ξύμμαχοι τῶν Λακεδαιμονίων ἐβοήθουν. L. ἀνῃροῦντο. N.

IV. 13 m. καὶ ἐν τούτοις τοῖς τείχεσι κατασήσας φρουροὺς τοὔμπαλιν ἐπορεύετο. L. εἰς τοὔμπαλιν. C.

IV. 13 f. αὐτὸς τὴν ἐπὶ Λακεδαίμονα ἀπεχώρει. L. Λακεδαίμονος. C.

IV. 16 f. τοὺς μέντοι Λακεδαιμονίους οὕτως αὖ οἱ πελτασταὶ ἐδέδισαν ὡς ἐντὸς ἀκοντίσματος οὐ προσήεσαν τοῖς ὁπλίταις. L. ὥς'. C.

IV. 19 f. ὥστε μακαρίζεσθαι αὐτῶν (Ἀγησιλάου καὶ Τελευτίου) τὴν μητέρα, ὅτι τῇ αὐτῇ ἡμέρᾳ ὧν ἔτεκεν ὁ μὲν κατὰ γῆν τὰ τείχη τῶν πολεμίων, ὁ δὲ κατὰ θάλατταν τὰς ναῦς καὶ τὰ νεώρια ἥρηκε. L. ἥρήκει. C.

V. 4 m. ῥιγούντων δ' αὐτῶν. L. ῥιγώντων. C.

V. 5 f. οἱ δ' ἐν τῷ Ἡραίῳ [καταπεφευγότες] ἐξήεσαν, ἐπιτρέψαντες Ἀγησιλάῳ γνῶναι ὅ,τι βούλοιτο περὶ σφῶν. C.

V. 6 m. καθήμενος δ' ἐπὶ τοῦ περὶ τὴν λίμνην κυκλοτεροῦς οἰκοδομήματος ἐθεώρει πολλὰ τὰ ἐξαγόμενα. L. παρά. C.

V. 11 m. οἱ Ἀμυκλαῖοι ἀεί ποτε ἀπέρχονται εἰς τὰ Τακίνθια ἐπὶ τὸν παιᾶνα, ἐάν τε στρατοπεδευόμενοι τυγχάνωσιν, ἐάν τε ἄλλως πως ἀποδημοῦντες. L. στρατευόμενοι. C.

V. 16 in. ἀναχωροῦντες δὲ ἔτι πλείονες [αὐτῶν] ἢ τὸ πρῶτον ἔπεσον. L. ἀναχωρούντων δὲ ἔτι πλείονες κτέ. C.

VI. 4 f. ὁ δ' Ἀγησίλαος ... εἶπεν ὡς εἰ μὴ παυσάμενοι τῆς πρὸς Βοιωτοὺς καὶ Ἀθηναίους ξυμμαχίας ἑαυτοὺς καὶ τοὺς ξυμμάχους αἱρήσονται, δῃώσοι πᾶσαν τὴν γῆν αὐτῶν ἐφεξῆς καὶ παραλείψοι οὐδέν. L. δῃώσει en παραλείψει.

VI. 5 m. οὐ προήει πλέον τῆς ἡμέρας ἢ δέκα ἢ δώδεκα σταδίων. L. στάδια. C.

VI. 11 m. ἐπὶ μέντοι τοῦ ἀκροτάτου οἱ ὁπλῖται ἦσαν τῶν Ἀκαρνάνων παρατεταγμένοι καὶ τῶν πελταστῶν τὸ πολύ, καὶ ἐνταῦθα ἐπέμενον. L. ὑπέμενον. C.

VI. 13 f. ἐγὼ μὲν γάρ, ἔφη, στρατεύομαι πάλιν δεῦρο εἰς τὸ ἐπιὸν θέρος. L. στρατεύσομαι. C.

VI. 14 m. ἤλπιζον γὰρ Ναύπακτον αὐτοῖς ξυμπράξειν [ὥς'] ἀπολαβεῖν. C.

VIII. 4 in. ὅταν δέ τινες ἐν συμφοραῖς γενομένων φίλων βέβαιοι φανῶσι, τοῦτ' εἰς τὸν ἅπαντα χρόνον μνημονεύεται. L. φίλοι. C.

VIII. 5 in. οἱ μὲν δὴ ταῦτα ἀκούοντες οὐκ ἀκόντως ἀλλὰ προθύμως ἐπείσθησαν. L. ἄκοντες. C.

VIII. 19 f. καὶ πλέονες διὰ τὸ ὀψὲ αἰσθέσθαι τῆς βοηθείας ... L. πλέονες δὲ διά κτἑ. en βοηθείας ἀπῆσαν.

VIII. 28 in. ἐπιτυχὼν δ' ἐν τῇ Λέσβῳ ταῖς πόλεσι πάσαις πλὴν Μυτιληναίων λακωνιζούσαις κτἑ. L. περιτυχών. C.

VIII. 30 in. ἐκ δὲ τούτου τὰς μὲν προσηγάγετο τῶν πόλεων, ἐκ δὲ τῶν οὐ προσχωρουσῶν λεηλατῶν χρήματα τοῖς στρατιώταις παρέχων, ἔσπευδεν εἰς τὴν Ῥόδον ἀφικέσθαι. L. προσήγετο. C.

BOEK V.

I. 2 m. Ὁ μέντοι Τελευτίας τυχὼν ἐπὶ τῶν νήσων ποι ἀφιγμένος κατὰ χρημάτων πόρον, ἀκούσας ταῦτα [περὶ τοῦ ἐπιτειχισμοῦ], ἐβοήθει τοῖς Αἰγινήταις· καὶ τὸ μὲν ναυτικὸν ἀπήλασε, τὸ δ' ἐπιτείχισμα διεφύλαττεν ὁ Πάμφιλος. P.

I. 3 m. ἡνίκα γὰρ ἐπὶ θάλατταν κατέβαινεν ἐπ' οἴκου ὁρμώμενος (ὁ Τελευτίας), οὐδεὶς ἐκεῖνον τῶν στρατιωτῶν ὃς οὐκ ἐδεξιώσατο κτἑ. L. ὅστις οὐκ. P.

I. 6 f. καὶ ὁ μὲν Νικολόχος βοηθῶν Ἀβυδηνοῖς ἔπλει ἐκεῖσε· παρατρεπόμενος δὲ εἰς Τένεδον ἐδῄου τὴν χώραν, καὶ χρήματα λαβὼν ἀπέπλευσεν εἰς Ἄβυδον. L. παρατραπόμενος. P.

I. 8 in. νυκτὸς δ' ἐπιγενομένης, Φῶς ἔχων (ὁ Εὔνομος), ὥσπερ νομίζεται, ἀφηγεῖτο, ὅπως μὴ πλανῶνται αἱ ἑπόμεναι. L. πλανῷντο. v. H.

I. 11 m. καὶ ἀπὸ τῶν πληρωμάτων δὲ [τῶν ἐκ τῶν νεῶν] ἐκήρυξε βοηθεῖν (ὁ Γοργώπας) ὅσοι ἐλεύθεροι εἶεν. P.

I. 15. ὥστε ὅταν ὑμεῖς πλήρη ἔχητε τὰ ἐπιτήδεια, τότε καὶ ἐμὲ ὄψεσθε ἀφθονώτερον διαιτώμενον· ἢν δὲ ἀνεχόμενόν με ὁρᾶτε καὶ ψύχη καὶ θάλπη καὶ ἀγρυπνίαν, οἴεσθε καὶ ὑμεῖς ταῦτα πάντα καρτερεῖν. L. ἀνεχόμενον ἐμέ. C. En οἴεσθε δεῖν καὶ ὑμᾶς. P.

I. 18 m. ὁ δὲ (Τελευτίας) τεθυμένος ἐτύγχανεν· εἶπε δὲ, Ἄγετε, ὦ ἄνδρες, δειπνήσατε μὲν, ὥσπερ καὶ ἐμέλλετε· προπαράσχεσθε δέ μοι μιᾶς ἡμέρας σῖτον. L. προπαρασκευάσασθε. P.

I. 20 m. εἰ δὲ καὶ εἶεν τριήρεις ὁρμοῦσαι, ἀσφαλέστερον ἡγήσατο (ὁ Τελευτίας) ἐπ' εἴκοσι ναῦς Ἀθήνησιν οὔσας πλεῦσαι ἢ ἄλλοθι δέκα. L. ἢ ἐπ' ἄλλοθι δέκα. P.

I. 27 m. ἐπεὶ δὲ παρέπλεον (οἵ τε Ἀθηναῖοι καὶ ὁ Θρασύβουλος) ἐδίωκεν (ὁ Ἀνταλκίδας)· οἱ δὲ ἰδόντες ἔφευγον. Τὰς μὲν οὖν

βραδύτατα πλεούσας ταῖς ἄριστα πλεούσαις ταχὺ κατειλήφει· παραγγείλας δὲ τοῖς πρωτόπλοις τῶν μεθ' ἑαυτοῦ μὴ ἐμβαλεῖν ταῖς ὑστάταις, ἐδίωκε τὰς προεχούσας. Ἐπεὶ δὲ ταύτας ἔλαβεν, ἰδόντες οἱ ὕστεροι ἀλισκομένους σφῶν [αὐτῶν] τοὺς πρωτόπλους ὑπ' ἀθυμίας καὶ τῶν βραδυτέρων ἡλίσκοντο· ὥσθ' ἥλωσαν ἅπασαι. L. καὶ πρὸς τῶν β., αὐτῶν moet wegvallen. Zoo ook:

V. II. 8 f. . . . ἐπεὶ δὲ σφᾶς [αὐτοὺς] ἐξέβαλον (οἱ Φλιάσιοι) [ὡς] ἕπεσθαι μὲν οὐδαμοῖ ἐθέλοιεν, μόνους δὲ πάντων ἀνθρώπων τοὺς Λακεδαιμονίους οὐ δέχοιντο εἴσω τῶν πυλῶν. Vgl. ook VI. v. 42.

VII. I. 35 m. ἔλεγε δὲ ὁ Πελοπίδας ὅτι Ἀργεῖοι καὶ Ἀρκάδες μάχῃ ἡττημένοι εἶεν ὑπὸ Λακεδαιμονίων, ἐπεὶ αὐτοὶ οὐ παρῆσαν. L. σφεῖς.

VII. v. 4 m. Φωκεῖς μέντοι οὐκ ἠκολούθουν, λέγοντες ὅτι συνθῆκαι σφίσιν [αὐτοῖς] εἶεν, εἴ τις ἐπὶ Θήβας ἴοι, βοηθεῖν. C.

I. 35 m. . . . διελύθη μὲν τὰ πεζικὰ, διελύθη δὲ καὶ τὰ ναυτικὰ στρατεύματα. L. τὰ πεζά. Zoo ook VI. III. 18. C.

II. 4 in. ὡς δὲ ἐνέβαλε (ὁ Ἀγησίπολις) πρῶτον μὲν τὴν γῆν ἐδήου. Ἐπεὶ δὲ οὐδ' οὕτω καθήρουν τὰ τείχη (οἱ Μαντινεῖς) κτἑ. L. οὐδ' ὥς. C.

II. 10 . . . . καὶ ἐκείνοις μὲν ἀποδοῦναι τὰ ἐμφανῆ κτήματα, τοὺς δὲ τὰ ἐκείνων πριαμένους ἐκ δημοσίου τὴν τιμὴν ἀπολαβεῖν. L. ἐκ τοῦ δημοσίου. C.

II. 12. ὅτι μὲν γὰρ τῶν ἐπὶ Θράκης μεγίστη πόλις Ὄλυνθος σχεδὸν πάντες ἐπίστασθε. L. σχεδόν τι πάντες. Eveneens:

VI. v. 33 m. ὅθεν δὴ οἱ Λακεδαιμόνιοι . . . . σχεδὸν πάντες παραπλήσια ἔλεγον. L. σχεδόν τι πάντες. C.

II. 14 m. καίτοι νῦν γ' ἤδη αὐτοῖς εἰσιν ὁπλῖται μὲν οὐκ ἐλάττους ὀκτακισχιλίων, πελταςαὶ δὲ πολὺ πλείους ἢ τοσοῦτοι. L. ἢ δὶς τοσοῦτοι.

II. 15 in. ἠκούομεν δὲ ὡς καὶ αὐτοῖς Ὀλυνθίοις ἐψηφισμένον εἴη συμπέμπειν πρέσβεις εἰς ταύτας τὰς πόλεις περὶ συμμαχίας. L. ἀκούομεν. C.

II. 17 in. ἀλλὰ μὴν καὶ γείτονές γ' εἰσὶν αὐτοῖς Θρᾷκες οἱ ἀβασίλευτοι, οἳ θεραπεύουσι μὲν καὶ νῦν ἤδη τοὺς Ὀλυνθίους· εἰ δὲ ὑπ' ἐκείνους ἔσονται, πολλὴ καὶ αὕτη δύναμις προσγένοιτ' ἂν αὐτοῖς. L. ὑπ' ἐκείνοις. C.

II. 22. εἰ δέ τις τῶν πόλεων ἐκλίποι τὴν στρατιὰν, ἐξεῖναι τοῖς

Λακεδαιμονίοις ἐπιζημιοῦν σατῆρι κατὰ τὸν ἄνδρα τῆς ἡμέρας. L. κατ' ἄνδρα. C.

II. 27 f. . . . . καὶ ἐν ᾧ μέλλει ἐκεῖνος Ὄλυνθον καταςρέφεσθαι, σὺ κατεςραμμένος ἔσῃ Θήβας κτἑ. L. καταςρέψεσθαι. N.

III. 1 m. ὡς δ' εἶδε τὴν καταδρομὴν (ὁ Δέρδας) ἡσυχίαν [τε] εἶχε τούς θ' ἵππους ἐπεσκευασμένους καὶ τοὺς ἀναβάτας ἐξωπλισμένους ἔχων. L. ἐνεσκευασμένους, C.; [τε] reeds bij Didot.

III. 3. . . . ἐξελθόντες οἱ Ὀλύνθιοι ἱππεῖς ἥσυχοι πορευόμενοι διέβησαν τὸν παρὰ τὴν πόλιν ῥέοντα ποταμὸν καὶ ἐπορεύοντο ἡσυχῇ πρὸς τὸ τῶν ἐναντίων σράτευμα. L. ἡσυχῇ. C.

III. 7. ἐκ μέντοι γε τῶν τοιούτων παθῶν ἐγώ Φημι ἀνθρώπους παιδεύεσθαι μάλισα μὲν [οὖν] ὡς οὐδ' οἰκέτας χρὴ ὀργῇ κολάζειν· . . . . ἀτὰρ ἀντιπάλοις τὸ μετ' ὀργῆς ἀλλὰ μὴ γνώμῃ προσφέρεσθαι ὅλον ἁμάρτημα· ἡ μὲν γὰρ ὀργὴ ἀπρονόητον, ἡ δὲ γνώμη σκοπεῖ οὐδὲν ἧττον μή τι πάθῃ ἢ ὅπως βλάψῃ τι τοὺς πολεμίους. L. ἀντιπάλοις γε en βλάψει, οὖν moet wegvallen. C.

III. 10 f. λεγόντων δὲ τῶν κατεληλυθότων καὶ τίς αὕτη δίκη εἴη ὅπου αὐτοὶ οἱ ἀδικοῦντες δικάζοιεν, οὐδένες ἤκουον (οἱ Φλιάσιοι). L. τίς ἂν αὕτη δίκη εἴη en met Teubner οὐδὲν εἰσήκουον. C.

III. 13 m. ἦν δὲ οὐ τῷ Ἀγησιλάῳ ἀχθομένῳ ταῦτα. L. οὐδέ. C.

III. 16. οὐκ ἐθελόντων δὲ [αὐτῶν] τοῦτο ποιεῖν, ἐνέβαλέ τε εἰς τὴν χώραν καὶ ταχὺ περιτειχίσας ἐπολιόρκει [αὐτούς] (τοὺς Φλιασίους ὁ Ἀγησίλαος). Πολλῶν δὲ λεγόντων Λακεδαιμονίων ὡς ὀλίγων ἕνεκεν ἀνθρώπων πόλει ἀπεχθάνοιντο πλέον πεντακισχιλίων ἀνδρῶν L. πλέον ἤ. Evenzoo:

V. IV. 66 f. . . . γενομένων αὐτῷ (τῷ Τιμοθέῳ) τῶν πασῶν πλέον ἑβδομήκοντα κτἑ. L. πλέον ἤ. C.

III. 18 in. ὁ δὲ Ἀγησίπολις εὐθὺς ἐκ τῆς Μακεδονίας προσιὼν ἔθετο πρὸς τῇ πόλει τῶν Ὀλυνθίων τὰ ὅπλα. L. προιών. C.

III. 21 m. . . . . οἱ Φλιάσιοι τὸν ἥμισυν ψηφισάμενοι σῖτον τελεῖν ἢ πρόσθεν κτἑ. L. ἀλεῖν. C.

III. 24 m. Φυλακὴ δὲ ἔτι ἰσχυροτέρα ἢ πρότερον ἐφύλαττεν (ὁ Ἀγησίλαος) ἵνα μηδεὶς τῶν ἐκ τῆς πόλεως ἐξίοι. Ὅμως μέντοι ὅ γε Δελφίων καὶ σιγματίας τις μετ' αὐτοῦ . . . ἀπέδρασαν. L. Φυλακῇ δὲ ἔτι ἰσχυροτέρᾳ met Teubner, en ὅ τε Δελφίων. C.

IV. 1 m. Λακεδαιμόνιοί τε γὰρ οἱ ὁμοσάντες αὐτονόμους ἐάσειν τὰς πόλεις τὴν ἐν Θήβαις ἀκρόπολιν κατασχόντες ὑπ' αὐτῶν μόνον τῶν ἀδικηθέντων ἐκολάσθησαν. L. μόνων. C.

IV. 2 in. ἦν τις Φυλλίδας, ὃς ἐγραμμάτευε τοῖς περὶ Ἀρχίαν πολεμάρχοις, καὶ τἄλλα ὑπηρετήκει, ὡς ἐδόκει, ἄρισα. L. ὑπηρέτει. C. En τἄλλα, voorts πολεμαρχοῦσιν. K.

IV. 2 f. . . . γνοὺς δὲ (ὁ Μέλλων τὸν Φυλλίδαν) ἔτι μᾶλλον μισοῦντα [αὐτὸν] τὰ οἴκοι αὐτοῦ κτἑ. C.

IV. 7 f. οἱ δ' ἐπεὶ εἰσῆλθον, τὸν μὲν (Λεοντιάδην) ἀποκτείναντες, τὴν δὲ γυναῖκα φοβήσαντες κατεσιώπησαν. Ἐξιόντες δὲ εἶπον τὴν θύραν κεκλεῖσθαι· εἰ δὲ λήψοιντο ἀνεῳγμένην, ἠπείλησαν ἀποκτεῖναι ἅπαντας τοὺς ἐν τῇ οἰκίᾳ. L. ἀπέκτειναν en ἀποκτενεῖν. C.

IV. 20 f. ἦγεν (ὁ Σφοδρίας) ἐκ τῶν Θεσπιῶν πρωὶ δειπνήσαντας τοὺς στρατιώτας, φάσκων πρὸ ἡμέρας κατανύσειν εἰς τὸν Πειραιᾶ. L. καθανύσειν, zoo V. IV. 49 καθανύσας en VII. I. 15. καθανύσαι. C.

IV. 37 in. . . . πέμψας (ὁ Κλεόμβροτος) . . . . πρὸς τὸν ἄρχοντα τῶν παρὰ τοῖς Κλειτορίοις ξένων, καὶ μισθὸν δοὺς μηνὸς [αὐτοῖς] ἐκέλευσε κτἑ. C.

IV. 37 f. . . . . εἰ δέ τις πόλις στρατιᾶς οὔσης ἔξω ἐπὶ πόλιν στρατεύσοι, ἐπὶ ταύτην ἔφη πρῶτον ἰέναι κατὰ τὸ δόγμα τῶν συμμάχων. L. πρώτην. C. Vgl. VII. I. 36, bl. 327.

BOEK VI.

I. 3. Κἀκεῖνος μέντοι (ὁ Πολυδάμας) ἀπὸ τούτων τῶν χρημάτων τήν τε ἄκραν φυλάττων διέσωζεν αὐτοῖς καὶ τἄλλα (l. τἆλλα) διοικῶν ἀπελογίζετο κατ' ἐνιαυτόν. Καὶ ὁπότε μὲν ἐνδεὴς εἴη, παρ' ἑαυτοῦ προσετίθει, ὁπότε δὲ περιγένοιτο τῆς προσόδου, ἀπελάμβανε. L. ὁπότε δέ τι περιγένοιτο. C.

I. 11 in. εἰ δὲ εἰκότα λογίζομαι, σκόπει, ἔφη (ὁ Ἰάσων), καὶ ταῦτα. Ἔχοντες μέν γε Μακεδονίαν κτἑ. L. ὅτι. C. En ἔχοντες μὲν γὰρ Μακεδονίαν. P.

I. 13 m. καὶ ἐὰν μέν σοι, ἔφη, διδῶσιν ὥστε σε πείθειν ἱκανὴν πέμπειν συμμαχίαν ὡς ἐμοὶ πολεμεῖν κτἑ. L. καὶ ἐὰν μὲν θεοί, ΘΟΙ voor COI. C.

I. 17 in. *οἱ δὲ Λακεδαιμόνιοι τότε μὲν ἀνεβάλλοντο τὴν ἀπόκρισιν· τῇ δ' ὑσεραίᾳ .... ἀπεκρίναντο.* L. *ἀνεβάλοντο.* C.

I. 17.... *λογισάμενοι (οἱ Λακεδαιμόνιοι) τάς τε ἔξω μόρας ὅσαι αὐτοῖς εἶεν καὶ τὰς περὶ Λακεδαίμονα πρὸς τὰς ἔξω τῶν Ἀθηναίων τριήρεις καὶ τὸν πρὸς τοὺς ὁμόρους πόλεμον κτέ.* L. *πρὸς τὰς ἐξήκοντα τῶν Α. τ.* Vgl. V. IV. 63. P.

I. 19 f. *προεῖπε δὲ (ὁ Ἰάσων) καὶ τοῖς περιοίκοις πᾶσι τὸν Φόρον ὥσπερ ἐπὶ Σκόπα τεταγμένος ἦν φέρειν.* L. *ὅσπερ.* C.

II. 13. *οἱ δ' Ἀθηναῖοι νομίζοντες αὐτὸν (τὸν Τιμόθεον) ἀναλοῦν τὸν τῆς ὥρας εἰς τὸν περίπλουν χρόνον κτέ.* L. *τῆς ὡραίας.* C.

II. 14 in. *ὁ δ' (Ἰφικράτης) ἐπεὶ κατέσχε στρατηγὸς, μάλα ὀξέως τὰς ναῦς ἐπληροῦτο καὶ τοὺς τριηράρχους ἠνάγκαζε.* L. *ἐπλήρου* C., reeds Brodaeus *ἐπλήρου τε καὶ κτέ.*

II. 36 in.... *τῶν δὲ ἀνδρῶν συνέβη ἑκάστῳ τακτὸν ἀργύριον ἀποτῖσαι, πλὴν Κρινίππου τοῦ ἄρχοντος.* L. *ἕκαστον.* C.

II. 39 f..... *μεγαλοφρονοῦντος ἐφ' ἑαυτῷ τοῦτό μοι δοκεῖ ἀνδρὸς εἶναι.* L. *μέγα φρονοῦντος.* C.

III. 1 in. *οἱ δὲ Ἀθηναῖοι, ἐκπεπτωκότας μὲν ὁρῶντες ἐκ τῆς Βοιωτίας Πλαταιέας .... ἱκετεύοντας δὲ Θεσπιέας .... οὐκέτι ἐπήνουν τοὺς Θηβαίους κτέ.* L. *Πλαταιᾶς, Θεσπιᾶς,* en *οὐκ ἐπήνουν.* C. Vgl. II. II. 3. III. V. 6. Eveneens V. IV. 10. *Πλαταιᾶς.*

III. 1 m. *κοινωνεῖν γε μὴν αὐτοῖς (τοῖς Θηβαίοις) ὧν ἔπραττον οὐκέτι ἤθελον (οἱ Ἀθηναῖοι) ἐπεὶ ἑώρων στρατεύοντάς τε αὐτοὺς ἐπὶ Φίλους ἀρχαίους τῇ πόλει [Φωκέας].* P.

III. 6 m. *πῶς οὖν δίκαιον ἢ ὑμᾶς (τοὺς Λακεδαιμονίους) παρ' ὧν ἐλάβετε σπέρματα, τὸν τούτων (τῶν Ἀθηναίων) καρπόν ποτε ἐλθεῖν δηώσοντας κτέ.* L. *ἐλάβετε τὰ σπέρματα.* C.

III. 11 in. .... *ὧν ἦν καὶ ἡ καταληφθεῖσα [ἐν Θήβαις] Καδμεία.* C.

IV. 6. *τῶν δ' αὖ Θηβαίων οἱ προεστῶτες ἐλογίζοντο ὡς εἰ μὴ μάχοιντο, ἀποστήσοιντο μὲν αἱ περιοικίδες αὐτῶν πόλεις, αὐτοὶ δὲ πολιορκήσοιντο.* L. *μαχοῖντο.* C.

IV. 8 f. *ἦν μὲν γὰρ μετ' ἄριστον τῷ Κλεομβρότῳ ἡ τελευταία βουλὴ περὶ τῆς μάχης· ἐν δὲ τῇ μεσημβρίᾳ ὑποπινόντων καὶ τὸν οἶνον παροξῦναί τι αὐτοὺς ἔλεγον.* L. *ὑποπιόντων.* C.

IV. 13 in. *ἐπεὶ δὲ ἤρξατο ἄγειν ὁ Κλεόμβροτος πρὸς τοὺς πολε-*

μίους, πρῶτον μὲν πρὶν καὶ αἰσθέσθαι τὸ μετ' αὐτοῦ στράτευμα ὅτι ἡγοῖτο, καὶ δὴ καὶ οἱ ἱππεῖς συνεβεβλήκεσαν καὶ ταχὺ ἥττηντο οἱ τῶν Λακεδαιμονίων. L. τὸ μετ' αὐτὸν στράτευμα. P.

IV. 14. ἐπεὶ μέντοι ἀπέθανε Δείνων τε ὁ πολέμαρχος καὶ Σφοδρίας τῶν περὶ δαμοσίαν καὶ Κλεώνυμος ὁ υἱὸς αὐτοῦ, [καὶ] οἱ μὲν ἵπποι καὶ οἱ συμφορεῖς .... ἀνεχώρουν, οἱ δὲ τοῦ εὐωνύμου ὄντες τῶν Λακεδαιμονίων ..... ἐνέκλιναν. L. ἱππεῖς met Stephanus, vgl. Eust. op Hom. Il. Θ 518, καί moet vervallen. Eveneens:

VII. v. 6 in. ἐξῆλθε μὲν δὴ ὁ Ἐπαμεινώνδας διὰ ταχέων· ἐπεὶ δὲ ἐγένετο ἐν Νεμέᾳ, ἐνταῦθα διέτριβεν, ἐλπίζων τοὺς Ἀθηναίους παριόντας λήψεσθαι, [καὶ] λογιζόμενος μέγα ἂν τοῦτο γενέσθαι κτἑ. P.

IV. 25. οἱ μέντοι Λακεδαιμόνιοι .... πράττειν περὶ τῶν σπονδῶν ἐκέλευον· ἐπεὶ δ' ἀπηγγέλθη ὅτι εἶησαν [αἱ] σπονδαί κτἑ. C.

IV. 27 m. ... οὐ τοῦτο φοβούμενος (ὁ Ἰάσων) μή τινες ἀναπεπταμένης ταύτης τῆς παρόδου πορεύσοιντο ἐπὶ τὴν ἐκείνου [δύναμιν]. C.

IV. 33 in. ἀποθανόντος μέντοι ἐκείνου (τοῦ Ἰάσονος) Πολύδωρος ἀδελφὸς αὐτοῦ καὶ Πολύφρων ταγοὶ καθέσησαν. L. ἀδελφοὶ αὐτοῦ Πολύδωρος καὶ Πολύφρων. C.

IV. 35 m. τοιοῦτος δ' ὢν (ὁ Ἀλέξανδρος) καὶ αὐτὸς αὖ ἀποθνήσκει, αὐτοχειρίᾳ μὲν ὑπὸ τῶν τῆς γυναικὸς ἀδελφῶν κτἑ. L. αὐτοχειρί. C.

V. 4 in. οἱ δ' αὖ Λακεδαιμόνιοι ἡγοῦντο, εἰ τοῦτο ἄνευ τῆς σφετέρας γνώμης ἔσοιτο, χαλεπὸν ἔσεσθαι. L. γένοιτο. P.

V. 7 f. καὶ γὰρ [τοιοῦτος] ὁ Στάσιππος ἦν οἷος μὴ βούλεσθαι πολλοὺς ἀποκτιννύναι τῶν πολιτῶν. K.

V. 15 m. τῇ μὲν πρώτῃ .... ἐδειπνοποιήσατο (ὁ Ἀγησίλαος), τῇ δὲ ὑστεραίᾳ διαβαίνει εἰς τὴν Μαντινικὴν, καὶ ἐστρατοπεδεύσατο κτἑ. L. διέβη. C.

V. 17 m. ἐπεὶ .... Ἀγησίλαος δὲ ἐκεκαλλιέρητο, ἐξ ἀρίστου προῆγε τὸ στράτευμα. L. Ἀγησιλάῳ. C.

V. 24 m. ἔχων (ὁ Ἰσχόλαος) .... τῶν Τεγεατῶν φυγάδων τοὺς νεωτάτους περὶ τετρακοσίους. L. νεωτέρους. P.

V. 33 m. ὅθεν δὴ οἱ Λακεδαιμόνιοι Ἄρατος καὶ Ὦκυλλος καὶ Φάραξ κτἑ. L. Ὦκελλος, vgl. V. IV. 22. C.

V. 35 m. . . . . θροῦς τις τοιοῦτος διῆλθεν, ὡς νῦν ταῦτα λέγοιεν (οἱ Λακεδαιμόνιοι), ὅτε δὲ εὖ ἔπραττον, ἐπέκειντο ἡμῖν. L. νῦν μὲν ταῦτα. C. P.

V. 41 m. . . . . εἴσονται μὲν ταῦτα θεοὶ . . . . . συνεπίσανται δὲ τὰ γιγνόμενα οἵ τε σύμμαχοι καὶ οἱ πολέμιοι κτἑ. L. συνεπισήσονται. C.

V. 42. ἐλπίζειν δὲ χρὴ [ὡς] ἄνδρας ἀγαθοὺς μᾶλλον ἢ κακοὺς αὐτοὺς γενήσεσθαι κτἑ. Evenzoo:

V. II. 2. . . . . καὶ ὡς . . . οὐδὲ συςρατεύοιεν . . . . ὁπότε δὲ καὶ ἀκολουθοῖεν, [ὡς] κακῶς συςρατεύοιεν. C.

VI. II. 36. τοῦτον δ' ἐφύλαττεν (ὁ Ἰφικράτης τὸν Κρίνιππον) ὡς ἢ πραξόμενος πάμπολλα χρήματα ἢ [ὡς] πωλήσων. P.

V. 43 m. οἱ ταχθέντες ἐν Θερμοπύλαις ἅπαντες εἵλοντο μαχόμενοι ἀποθανεῖν μᾶλλον ἢ ζῶντες ἐπεισφέρεσθαι τὸν βάρβαρον τῇ Ἑλλάδι. L. ἐπεισφρέσθαι. C.

V. 46 in. ὁρῶ δὲ καὶ Θηβαίους . . . . νῦν δεομένους ὑμῶν περιιδεῖν ἀπολομένους τοὺς σώσαντας ὑμᾶς. L. ἀπολλυμένους. P.

V. 47. καλοῦ γε μὴν κἀκείνου ὄντος, ὅτε . . . διεσώσατε τοὺς Ἡρακλέους παῖδας . . . πῶς οὐκ ἐκείνου τόδε κάλλιον, εἰ . . . . . περισώσαιτε; πάντων δὲ κάλλιστον, εἰ . . . . σὺν ὅπλοις τε καὶ διὰ κινδύνων ἐπικουρήσετε αὐτοῖς. L. ἐπικουρήσαιτε. P.

V. 48 in. ὁπότε δὲ καὶ ἡμεῖς ἀγαλλόμεθα [οἱ] συναγορεύοντες βοηθῆσαι ἀνδράσιν ἀγαθοῖς κτἑ. C.

V. 49 m. ἐπεὶ δὲ τὰ ἱερὰ ἐγένετο καὶ παρήγγειλεν ἐν Ἀκαδημίᾳ δειπνοποιεῖσθαι, πολλοὺς ἔφασαν προτέρους αὐτοῦ Ἰφικράτους ἐξελθεῖν. L. αὐτοῦ τοῦ Ἰφικράτους. N. En Ἀκαδημείᾳ met Teubner, vgl. II. II. 8 op bl. 310.

BOEK VII.

I. 2 f. Ἐμοὶ δὲ καὶ αὐτῷ δοκεῖ ταῦτα οὐκ ἀνθρωπίνῃ μᾶλλον ἢ θείᾳ φύσει τε καὶ τύχῃ διωρίσθαι. L. οὐκ ἀνθρωπίνῃ μᾶλλον γνώμῃ ἢ κτἑ. P.

I. 4 m. ἔτι δὲ καὶ τόδε· οὐδαμόθεν ἂν τριήρεις πλείους ἀθρόαι ἐκπλεύσειαν ἢ παρ' ὑμῶν. L. τόδ' ἐνθυμήθητε· οὐδαμόθεν κτἑ. C.

I. 5 in. ἔτι δὲ καὶ ἀπὸ τῶν θεῶν δέδοται ὑμῖν εὐτυχεῖν ἐν τούτῳ κτἑ. L. ὑπὸ τῶν θεῶν. C.

I. 6 m. *ἐπεὶ δ' ὁ θεὸς ἔδωκέ ποτε αὐτοῖς κατὰ θάλατταν ἐπικρατῆσαι, εὐθὺς ὑπ' ἐκείνοις παντελῶς ἐγένεσθε.* L. *ἐπ' ἐκείνοις.* C.

I. 13 f. *ἀπόκριναί δέ μοι, ἔφη, ὦ Λακεδαιμόνιε Τιμόκρατες, οὐκ ἄρτι ἔλεγες ὡς ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις ἥκεις τὴν συμμαχίαν ποιούμενος.* L. *ποιησόμενος.* P.

I. 14 in. *ἔχειν οὖν .... ἰσαίτερον ἢ ἐν μέρει μὲν ἑκατέρους ἡγεῖσθαι τοῦ ναυτικοῦ κτἑ.* L. *ἰσαίτερόν τι ἢ κτἑ.* P.

I. 14 m. .... *καὶ ὑμᾶς τε, εἴ τι ἀγαθόν ἐστιν ἐν τῇ κατὰ θάλατταν ἀρχῇ, τούτων μετέχειν, καὶ ἡμᾶς ἐν τῇ κατὰ γῆν.* L. *ἡμᾶς εἴ τι ἐν τῇ κτἑ.* C. P.

I. 17 in. *ὡς δὲ οἱ σωθέντες (τῶν Λακεδαιμονίων) ἐκ τοῦ πράγματος ἀπέφυγον ἐπὶ τὸν ἐγγύτατα λόφον ', ἐξὸν τῷ Λακεδαιμονίων πολεμάρχῳ .... κατέχειν τὸ χωρίον .... μάλα ἀπορούντων τῶν Θηβαίων ....* L. *φράγματος.* K. Na *λόφον* of daaromtrent is iets uitgevallen: in de vorige § hebben de Thebanen de overhand, en hier de Spartanen; men mist het verslag, hoe dezen hunne tegenstanders omtrokken en aan de westzijde van het Oneion insloten. P.

I. 17 f. .... *σπονδὰς ποιησάμενος (ὁ τῶν Λακεδαιμονίων πολέμαρχος), ὡς τοῖς πλείοσις ἐδόκει, πρὸς Θηβαίων μᾶλλον ἢ πρὸς ἑαυτῶν κτἑ.* L. *πρὸς ἑαυτοῦ.* C.

I. 21 in. .... *οἱ δὲ παρὰ τοῦ Διονυσίου ἱππεῖς ὅσοιπερ ἦσαν ..... ἠκόντιζόν τε κτἑ.* L. *ὅσοι παρῆσαν.* C.

I. 24 in. *ἐὰν οὖν σωφρονῆτε, τοῦ ἀκολουθεῖν ὅποι ἄν τις παρακάλῃ φείσεσθε κτἑ.* L. *ἀφήσεσθε.* C.

I. 24 m. *νῦν δὲ ... [ἴσως] τάχα τούτους (τοὺς Θηβαίους) ἄλλους Λακεδαιμονίους εὑρήσετε.* C.

I. 24 f. *ὑπερεφίλουν (οἱ Ἀρκάδες) τὸν Λυκομήδην .... ὥσε ἄρχοντας ἔταττον οὕστινας κἀκεῖνος κελεύοι.* L. *ἐκεῖνος.* C.

I. 26 in. *οἱ μὲν δὴ Θηβαῖοι διὰ ταῦτα ὑποφθόνως καὶ οὐκέτι φιλικῶς εἶχον πρὸς τοὺς Ἀρκάδας.* L. *ἐπιφθόνως.* P.

I. 27 m. *ἐκεῖ δὲ ἐλθόντες (οἱ Λακεδαιμόνιοι καὶ οἱ Θηβαῖοι ἐν Δελφοῖς) τῷ μὲν θεῷ οὐδὲν ἐκοινώσαντο ὅπως ἂν ἡ εἰρήνη γένοιτο, αὐτοὶ δὲ ἐβουλεύοντο.* L. *οὐδὲν ἀνεκοινώσαντο.* P.

I. 28 in. *λεγόντων δὲ Ἀθηναίων μὲν ὡς χρεὼν εἴη αὐτοὺς εἰς Θετταλίαν κτἑ.* L. *ὡς χρείη.* C.

I. 29 m. *καὶ οὗτοι ὡς ἀποκλείσοντες αὐτὸν (τὸν Ἀρχίδαμον οἱ*

'Αρκάδες καὶ 'Αργεῖοι) τῆς ἐπ' οἶκον ὁδου. L. ἐπ' οἴκου. P. En αὐτοί, vgl. het vorige; eindelijk ἀποκλήσοντες. C.

I. 31 in.... συνέβη δὲ καὶ πρὸς τῷ δεξιῷ κέρατι τέμενός τε καὶ ἄγαλμα Ἡρακλέους [οὗ δὴ καὶ ἀπόγονος λέγεται] εἶναι. L. τέμενός τι. C.

I. 32 f..... οὕτως ἤδη ἤχθοντο (οἱ Θηβαῖοι καὶ οἱ Ἠλεῖοι) ἐπὶ τῷ Φρονήματι αὐτῶν (τῶν Ἀρκάδων). L. ἐπὶ τοῖς Φρονήμασιν. C.

I. 36 f. εἴ τις δὲ πόλις μὴ ἐθέλοι ἀκολουθεῖν, ἐπὶ ταύτην πρῶτον ἰέναι. L. πρώτην. C. Vgl. V. IV. 37, bl. 322.

I. 38 f.... καὶ τὴν ὑμνουμένην ἂν χρυσῆν πλάτανον οὐχ ἱκανὴν ἔφη εἶναι τέττιγι σκιὰν παρέχειν. L. δή. C.

I. 39 in. ὁ Πέρσης ὁ Φέρων τὰ γράμματα δείξας τὴν βασιλέως σφραγῖδα ἀνέγνω τὰ γεγραμμένα. L. τἀγγεγραμμένα. C.

I. 40. ὡς δ' ἐν Θήβαις οὐκ ἠθέλησαν οἱ συνεληλυθότες ὁμόσαι, ἔπεμπον οἱ Θηβαῖοι πρέσβεις ἐπὶ τὰς πόλεις, ὁμνύναι κελεύοντες ποιήσειν κατὰ τὰ βασιλέως γράμματα, νομίζοντες ὀκνήσειν μίαν ἑκάσην τῶν πόλεων ἀπεχθάνεσθαι ἅμα ἑαυτοῖς τε καὶ βασιλεῖ. L. περὶ τὰς πόλεις. C.

I. 45 m..... ὡς τῆς πολιτείας ἐσομένης ἐν τοῖς ἴσοις καὶ ὁμοίοις. L. ἐπὶ τοῖς ἴσοις. C.

I. 46 f. ὅπως δὲ ταῦτα ἐπιτρέποιεν αὐτῷ (τῷ Εὐφρονι) οἱ ξύμμαχοι, τὰ μέν τι καὶ χρήμασι διεπράττετο, τὰ δὲ καὶ, εἴ ποι στρατεύοιντο, προθύμως ἔχων τὸ ξενικὸν συνηκολούθει. L. tweemaal τό. C.

II. 2 m... ἐπιστρατευόντων δ' αὐτοῖς ὡς εἰπεῖν πάντων τῶν Ἑλλήνων, πιστοὶ διέμειναν (οἱ Φλιάσιοι τοῖς Λακεδαιμονίοις). L. ὡς ἔπος εἰπεῖν. C.

II. 6 in. οἱ δ'.... ἐδίωκον τοὺς ἡμεροφύλακας ὄντας δέκα· ἀφ' ἑκάστης δὲ τῆς πεμπάδος εἷς ἡμεροφύλαξ κατελείπετο. L. γάρ. K.

II. 7 m. ἔπειτα πολιορκούμενοι ὑπὸ τῶν προσβοηθούντων ἐχώρουν πάλιν πρὸς τὴν ἀκρόπολιν. L. ἀνεχώρουν. C. En εἰς.

II. 7 f. οἱ δὲ χαμόθεν ἠμύνοντο καὶ κατὰ τὰς ἐπὶ τὸ τεῖχος φερούσας κλίμακας προσεμάχοντο. L. χαμᾶθεν. C.

II. 8 m. τῶν δὲ ἐνδόθεν οἱ μὲν τοὺς ἐπὶ τοῦ τείχους, οἱ δὲ καὶ ἔξωθεν ἔτι ἐπαναβαίνοντας .... ἔπαιον. L. οἱ δὲ τοὺς καὶ κτέ. P.

II. 8 f. ἐνταῦθα δὴ οἱ μὲν ἀπὸ τῶν πύργων τὴν φλόγα φοβούμενοι ἐξήλλοντο, οἱ δὲ ἐπὶ τῶν τειχῶν ὑπὸ τῶν ἀνδρῶν παιόμενοι ἐξέπιπτον. L. ἐπὶ τῶν πύργων. P. Vgl. echter III. v. 23.

II. 13 in. ἐπεὶ δὲ καιρὸς ἐδόκει ἰέναι, ἀπῆεσαν οἱ πολέμιοι κύκλῳ τοῦ Τρικαράνου. L. εἶναι. P.

II. 18 m. κἀκείνους μὲν ἐκεῖ κατέλιπον, ἀγοράσαντες δὲ καὶ ἐπισκευασάμενοι ὁπόσα ἐδύναντο ὑποζύγια νυκτὸς ἀπῆεσαν. L. ἐνσκευασάμενοι. C.

II. 20 m..... ἴσως δὲ ἐπιφανεὶς σὺ τροπὴν, ὥσπερ ἐν Πελλήνῃ, ποιήσεις. L. ποιήσει.

III. 3 m. καὶ νῦν, ἔφη (ὁ Εὔφρων), φεύγουσιν ὑπ' ἐμοῦ πάντες οἱ ὑμᾶς προδιδόντες. L. προδόντες. C.

III. 6 in. ὦ ἄνδρες πολῖται, ἡμεῖς τουτουσὶ τοὺς Εὔφρονα ἀποκτείναντας διώκομεν [περὶ] θανάτου. P.

III. 7 in.... οἱ μὲν ἄλλοι ἠρνοῦντο μὴ αὐτόχειρες γεγενῆσθαι· εἷς δὲ ὡμολογήκει κτἑ. L. ὡμολόγει. C.

III. 7 m. ᾔδειν γὰρ ὅτι καὶ ὑμεῖς τοὺς περὶ Ἀρχίαν καὶ Ὑπάτην.... οὐ ψῆφον ἀνεμείνατε, ἀλλὰ ὁπότε πρῶτον ἐδυνάσθητε ἐτιμωρήσασθε, νομίζοντες.... τῶν φανερῶς προδοτῶν καὶ τυραννεῖν ἐπιχειρούντων... ὑπὸ πάντων ἀνθρώπων θάνατον κατεγνῶσθαι. L. ᾔδη, ἀναμείναντες (dit reeds volgens Schneider), en προδιδόντων. C.

III. 8 m. προδότης γε μὴν τίς ἂν περιφανέστερος Εὔφρονος εἴη. L. περιφανέστερον. C.

III. 10 f. νῦν δὲ ὅτε πάλιν ἦλθεν ἄλλα πρὸς τοῖς πρόσθεν κακὰ ποιήσων οὐ δικαίως φησί τις αὐτὸν τεθνάναι; L. φήσει τις. P.

III. 11 m. ὅστις δὲ ἄνευ κοινοῦ τῶν συμμάχων δόγματος κατέρχεται φυγὰς, τοῦτον ἔχοι τις ἂν εἰπεῖν ὅπως οὐ δίκαιόν ἐστιν ἀποθνήσκειν. L. δίκαιός ἐστιν. C.

IV. 17 in.... ὥστε καὶ οἱ Ἀρκάδες οὐδὲν ἄλλο [πράξαντες] ἢ δῃώσαντες αὐτῶν τὴν χώραν ἀπῆλθον. C.

IV. 21 f. οἱ δὲ Ἀρκάδες οὐδέν τι μᾶλλον ἐκινοῦντο, ἀλλὰ ταῦτα πάντα παρεώρων. L. περιεώρων. C.

IV. 23 m. ἀλλὰ ταχὺ μὲν ὁ Ἀρχίδαμος ἐτέτρωτο τὸν μηρὸν διαμπὰξ, ταχὺ δὲ οἱ μαχόμενοι πρὸ αὐτοῦ ἀπέθνησκον. L. οἱ πρὸ αὐτοῦ μαχόμενοι. C.

IV. 26 m. καὶ ὅσοι μὲν ξένοι ἦσαν αὐτῶν (τῶν Πυλίων) ἀπέδοντο, ὅσοι δὲ φυγάδες, ἀπέσφαττον. Μετὰ δὲ ταῦτα τούς τε Πυλίους, ὡς οὐδεὶς αὐτοῖς ἐβοήθει, [σὺν] αὐτῷ τῷ χωρίῳ αἱροῦσιν κτἑ. L. ἀπέσφαξαν. C.

IV. 30 in. καὶ μὴν οἱ Ἠλεῖοι τἀπὶ θάτερα τοῦ ποταμοῦ παρετάξαντο, σφαγιασάμενοι δὲ εὐθὺς ἐχώρουν. L. οἱ Ἠ. εἰς τἀπὶ θ. P.

IV. 34 m. γνόντες δὲ οἱ τῶν ἀρχόντων διακεχειρικότες τὰ ἱερὰ χρήματα ὅτι εἰ δώσοιεν εὐθύνας ,. κινδυνεύσοιεν ἀπολέσθαι κτἑ. L. τῶν ἀρχόντων οἱ διακεχειρικότες. P.

V. 1 f. . . . . ὅτι οἱ Θηβαῖοι δῆλοι εἶεν βουλόμενοι ὡς ἀσθενεςάτην τὴν Πελοπόννησον εἶναι, ὅπως ὡς ῥᾷςα αὐτὴν καταδουλώσαιντο. L. καταδουλώσοιντο. C.

V. 8 m. τῶν δ' ἑτέρων ἔξω ςρατευομένων ἐξῆν ὁρᾶν, ... εἴτε τι ἡμάρτανον. L. ςρατοπεδευομένων. C. P.

V. 11 in. ἐπεὶ δ' ἐγένετο Ἐπαμεινώνδας ἐν τῇ πόλει τῇ Σπαρτιατῶν κτἑ. L. πρὸς τῇ πόλει. C.

V. 15. οἱ δὲ Ἀθηναῖοι ἱππεῖς . . . . ἐτύγχανον προσιόντες εἰς τὴν Μαντίνειαν καὶ κατασρατοπεδευσάμενοι ἐντὸς τείχους ἐν ταῖς οἰκίαις. L. εἰσιόντες en κατασρατοπεδευσόμενοι. P.

V. 16. . . . . καὶ ἐν Κορίνθῳ δυστυχήματος γεγενημένου [τοῖς ἱππεῦσιν] οὐδὲν τούτων ἐπελογίσαντο (οἱ ἱππεῖς). P. En l. ὑπελογίσαντο met Schneider.

V. 18 f. . . . ὥςε οὐκ ἐδόκει αὐτῷ (τῷ Ἐπαμεινώνδᾳ) δυνατὸν εἶναι ἀμαχεὶ παρελθεῖν· λογιζομένῳ ὅτι εἰ μὲν νικῴη, πάντα ταῦτα ἀναλύσοιτο· εἰ δὲ ἀποθάνοι, καλὴν τὴν τελευτὴν [ἡγήσατο] ἔσεσθαι κτἑ. Hier moet ἡγήσατο vervallen, en l. ἀναλήψοιτο. C. P. En ἀπελθεῖν. P.

V. 20. καὶ γὰρ ὅτε . . . . παρήγγειλεν αὐτοῖς (τοῖς ςρατιώταις ὁ Ἐπαμεινώνδας) παρασκευάζεσθαι ὡς μάχης ἐσομένης, προθύμως μὲν ἐλευκοῦντο οἱ ἱππεῖς τὰ κράνη . . . . , ἐπεγράφοντο δὲ καὶ τῶν Ἀρκάδων ὁπλῖται ῥόπαλα, ὡς Θηβαῖοι ὄντες, πάντες δὲ ἠκονῶντο καὶ λόγχας καὶ μαχαίρας καὶ ἐλαμπρύνοντο τὰς ἀσπίδας. L. ὡς δὴ Θηβαῖοι ὄντες. K. De woorden ἐπεγράφοντο tot ὄντες moeten na ἀσπίδας staan. P.

V. 22 in. καὶ γὰρ δὴ ὡς πρὸς τῷ ὄρει ἐγένετο (ὁ Ἐπαμεινώνδας) ἐπεὶ ἐξετάθη αὐτῷ ἡ φάλαγξ, ὑπὸ τοῖς ὑψηλοῖς ἔθετο τὰ ὅπλα, ὥςε εἰκάσθη ςρατοπεδευομένῳ. L. ἐξετέτατο. P. En ςρατοπεδευσομένῳ. K.

V. 26 in. συνεληλυθυίας γὰρ σχεδὸν ἁπάσης Ἑλλάδος καὶ ἀντιτεταγμένων, οὐδεὶς [ἦν] ὅςις οὐκ ᾤετο κτἑ. C.